UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

Parisiis, 1644

V. Quod qui exprobrant clericis, eo quod ordinati sunt in ecclesia sine datis, mulcta epitimio subiacent.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

*gratia, sed prompte: neque vt dominantes in clero, sed forma facti gregis: & cum apparuerit princeps pastorum, percipietis immarcescibilem gloriæ coronam.*

## V.

*Quod qui exprobrant clericis, eo quod ordinati sunt in ecclesia sine datis, * epitimio subiacent.*

* i. mulcta

Peccatum ad mortem est, quando quidam peccantes incorrecti persistunt. Hoc vero deterius est, si & arroganter elati insurgunt aduersus pietatem & veritatem; & præferentes mammona Dei obedientiæ, nullatenus regularibus eius præceptis intendunt. In his non est Dominus Deus, nisi humiliati a proprio resipuerint fortasse excessu. Oportet enim eos magis accedere ad Deum, & cum contrito corde remissionem huius peccati & indulgentiam petere, & non gloriari in illicito dato.
Psalm. 33. Iuxta enim est Dominus his qui tribulato sunt corde. Eos igitur qui gloriantur se per dationem auri ordinatos in ecclesia, & in hac maligna consuetudine quæ alienat a Deo & omni sacerdotio, sperant; & ex hoc impudenti facie & non operto ore exprobrabilibus verbis eos qui ob virtutem vitæ a sancto Spiritu electi & constituti sine datione auri sunt, inhonorant; primo quidem nouissimum gradum accipere sui ordinis definimus: quod si permanserint, per epitimium corrigantur. Si vero quis claruerit super consecratione hoc aliquando faciens, efficiatur secundum apo-

δῶς, ἀλλὰ προθύμως· μηδ' ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου· καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον.

Anno Christi 787.

## ε'.

Ὅτι οἱ ὀνειδίζοντες τοὺς κληρικούς, διὰ τὸ τετάχθαι ἐν ἐκκλησίᾳ χωρὶς δόσεως, ἐπιτιμίῳ ὑπόκεινται.

Ἁμαρτία πρὸς θάνατόν ἐστιν, ὅταν τινὲς ἁμαρτάνοντες ἀδιόρθωτοι μένωσι. τὸ δὲ τούτου χεῖρον, ἐὰν καὶ τραχηλιῶντες κατεξανίστανται τῆς εὐσεβείας καὶ τῆς ἀληθείας, καὶ προτιμώμενοι τὸν μαμωνᾶν τῆς τοῦ θεοῦ ὑπακοῆς, καὶ τῶν κανονικῶν αὐτοῦ διατάξεων μὴ ἀντεχόμενοι. διὸ ἐν τούτοις οὐκ ἔστι κύριος ὁ θεός· εἰ μή που ταπεινωθέντες τοῦ ἰδίου σφάλματος ἀνανήψωσι. χρὴ γὰρ μᾶλλον αὐτοὺς προσέρχεσθαι τῷ θεῷ, καὶ μετὰ συντετριμμένης καρδίας τὴν ἄφεσιν τούτου τοῦ ἁμαρτήματος καὶ τὴν συγχώρησιν αἰτεῖσθαι, οὐχὶ ἐναβρύνεσθαι τῇ ἀθέσμῳ δόσει. ἐγγὺς γὰρ κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ. τοὺς οὖν ἐγκαυχωμένους διὰ δόσεως χρυσίου τετάχθαι ἐν τῇ ἐκκλησίᾳ, καὶ ταύτῃ τῇ πονηρᾷ συνηθείᾳ ἐπελπίζοντας τῇ ἀλλοτριούσῃ ἀπὸ τοῦ θεοῦ καὶ πάσης ἱερωσύνης, καὶ ἐκ τούτου ἀναιδεῖ προσώπῳ καὶ ἀπαρακαλύπτῳ στόματι ὀνειδιστικοῖς λόγοις τοὺς δι' ἀρετὴν βίου ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκλεγέντας καὶ καταταγέντας ἐκτὸς δόσεως χρυσίου ἀτιμάζοντας, πρῶτον μὲν τοὺς τοῦτο ποιοῦντας τὸν ἔσχατον βαθμὸν λαμβάνειν τοῦ οἰκείου τάγματος· εἰ δὲ ἐπιμένοιεν, δι' ἐπιτιμίου διορθοῦσθαι. εἰ δέ τις ἐπὶ χειροτονίᾳ φανείη ποτὲ τοῦτο πεποιηκώς, γινέσθω κατὰ τὸν ἀποστολικὸν

ANNO CHRISTI 787.

στολικὸν κανόνα τὸν λέγοντα· εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω παντάπασι καὶ τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου. ὡσαύτως καὶ κατὰ τὸν δεύτερον κανόνα τῶν ἐν Καλχηδόνι ὁσίων πατέρων ἡμῶν, λέγοντα· εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσηται, καὶ εἰς πρᾶσιν καταγάγῃ τὴν ἄπρατον χάριν, καὶ χειροτονήσῃ ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβυτέροις, ἢ διακόνοις, ἢ τινα τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων· ἢ προβάλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος δι' αἰσχροκέρδειαν οἰκείαν· ὁ τοῦτο ἐπιχειρήσας ἐλεγχθεὶς κινδυνευέτω εἰς τὸν ἴδιον βαθμόν· καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπορείαν ὠφελείσθω χειροτονίας, ἢ προβολῆς· ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν. εἰ δέ τις καὶ μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, ἐκ τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς ἢ μοναχός, ἀφοριζέσθω.

### ϛ'.

### Περὶ τοῦ γίνεσθαι τοπικὴν σύνοδον κατὰ χρόνον.

Ἐπειδήπερ κανών ἐστιν ὁ λέγων· δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν χρὴ γίνεσθαι διὰ συναθροίσεως ἐπισκόπων τὰς κανονικὰς ζητήσεις· διὰ γοῦν

stolicam regulam quæ dicit: Si quis episcopus per pecuniam dignitatem hanc obtinuerit, vel presbyter aut diaconus, deponatur & ipse & qui eum consecrauit, & excidatur omnimodis etiam a communione, quemadmodum Simon magus a me Petro. Similiter & iuxta secundam regulam sanctorum patrum qui apud Calchedonem conuenerunt, quæ ait: Si quis episcopus per pecunias consecrationem fecerit, & sub precio redegerit gratiam quæ non potest vendi, ordinaueritque per pecunias episcopum, vel chorepiscopum, siue presbyteros aut diaconos, aut quemdam eorum qui in clero connumerantur: aut præposuerit per pecunias œconomum vel defensorem, siue mansionarium, aut prorsus quemquam qui sub regulam est, turpis lucri gratia: qui hoc conatus fuerit agere, si conuictus fuerit, proprii gradus periculum subeat: & qui consecratus est, nihil proficiat ex consecratione vel promotione quæ per negotiationem effecta est; sed sit alienus a dignitate * & solicitudine quam per pecunias consecutus est. Si vero quis mediator apparuerit in huiusmodi turpibus & illicitis * datis; si quidem clericus fuerit, proprio gradu decidat: si vero laicus vel monachus, excommunicetur.

Can. 30.

* seu

* lucris;

### VI.

### *Vt efficiatur localis Synodus per annum.*

Quoniam quidem regula est, quæ dicit: Bis in anno per singulas prouincias oportet fieri per conuentum episcoporum regulares inquisitiones: propter fati-

Conc. Nic. cap. 5.